καὶ τὴν τάλαιναν ἀθλίαν δάμαρτ᾽ ἐμὴν
λάβωμεν, ᾗ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
τοὺς διολέσαντας τὴν ἐμὴν ξυνάορον.
ΟΡ. οὗτος σύ, κλῄθρων τῶνδε μὴ ψαύσῃς χερί·
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει·
ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν,
ῥήξας παλαιὰ γεῖσα, τεκτόνων πόνον.
μοχλοῖς δ᾽ ἄραρε κλῇθρα, σῆς βοηδρόμου
σπουδῆς ἅ σ᾽ εἴρξει, μὴ δόμων εἴσω περᾶν.
ΜΕ. ἔα, τί χρῆμα; λαμπάδων ὁρῶ σέλας,
δόμων δ᾽ ἐπ᾽ ἄκρων τούσδε πυργηρουμένους,
ξίφος δ᾽ ἐμῆς θυγατρὸς ἐπίφρουρον δέρῃ.
ΟΡ. πότερον ἐρωτᾶν ἢ κλύειν ἐμοῦ θέλεις;
ΜΕ. οὐδέτερ᾽· ἀνάγκη δ᾽, ὡς ἔοικέ, σου κλύειν.
ΟΡ. μέλλω κτανεῖν σου θυγατέρ᾽, εἰ βούλει μαθεῖν.
ΜΕ. Ἑλένην φονεύσας ἐπὶ φόνῳ πράσσεις φόνον;
ΟΡ. εἰ γὰρ κατέσχον μὴ θεῶν κλεφθεὶς ὕπο.
ΜΕ. ἀρνεῖ κατακτὰς κἀφ᾽ ὕβρει λέγεις τάδε;
ΟΡ. λυπράν γε τὴν ἄρνησιν· εἰ γὰρ ὤφελον
ΜΕ. τί χρῆμα δρᾶσαι; παρακαλεῖς γὰρ εἰς φόβον.
ΟΡ. τὴν Ἑλλάδος μιάστορ᾽ εἰς Ἅιδου βαλεῖν.
ΜΕ. ἀπόδος δάμαρτος νέκυν, ὅπως χώσω τάφῳ.
ΟΡ. θεοὺς ἀπαίτει· παῖδα δὲ κτενῶ σέθεν.
ΜΕ. ὁ μητροφόντης ἐπὶ φόνῳ πράσσει φόνον.
ΟΡ. ὁ πατρὸς ἀμύντωρ, ὃν σὺ προὔδωκας θανεῖν.
ΜΕ. οὐκ ἤρκεσέν σοι τὸ παρὸν αἷμα μητέρος;
ΟΡ. οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.
ΜΕ. ἦ καὶ σύ, Πυλάδη, τοῦδε κοινωνεῖς φόνου;
ΟΡ. φησὶν σιωπῶν· ἀρκέσω δ᾽ ἐγὼ λέγων.
ΜΕ. ἀλλ᾽ οὔτι χαίρων, ἤν γε μὴ φύγῃς πτεροῖς.
ΟΡ. οὐ φευξόμεσθα· πυρὶ δ᾽ ἀνάψομεν δόμους.
ΜΕ. ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδε;

---

1578. σήν C 1579. δράσεις φόνον B 1583. πράξαι B 1585. τάφον c 1587. πράσσεις C 1593. ἢν — φύγοις B εἰ — φύγοις F ἢν — φύγῃς ceteri. 1595. ἦ καί C δῶμ᾽ ἐκπορθήσεις C